*σύ τ', ὦ φαεννῶν ἀστέρων οἰκῶν ἕδρας*
*Ζεῦ ξένι', ὅρα τάδ'· εἰ γὰρ αὐτὰ μὴ βλέπεις,*
*ἄλλως νομίζῃ Ζεὺς τὸ μηδὲν ὢν θεός.*

*ΧΟ.* *εὐρείας φάρυγγος, ὦ Κύκλωψ,* stroph.
*ἀναστόμου τὸ χεῖλος· ὡς ἕτοιμά σοι*
*ἑφθὰ καὶ ὀπτὰ καὶ ἀνθρακιᾶς ἄπο χναύειν,*
*βρύκειν, κρεοκοπεῖν μέλη ξένων,*
*δασυμάλλῳ ἐν αἰγίδι κλινομένῳ.*
*μή μοι μὴ προσδίδου·*
*μόνος μόνῳ γέμιζε πορθμίδος σκάφος.*
*χαιρέτω μὲν αὖλις ἅδε,*
*χαιρέτω δὲ θυμάτων*
*ἀποβώμιος ἃν ἔχει θυσίαν*
*Κύκλωψ Αἰτναῖος ξενικῶν*
*κρεῶν κεχαρμένος βορᾷ.*

*νηλής, ὦ τλᾶμον, ὅστις* antistr.
*δωμάτων ἐφεστίους ξενικοὺς*
*ἱκτῆρας ἐκθύει δόμων,*
*κόπτων, βρύκων*
*ἑφθά τε δαινύμενος μυσαροῖσιν ὀδοῦσιν*
*[ἀνθρώπων] θέρμ' ἀπ' ἀνθράκων κρέα.*

---

354 *ζεῦ* ex *ζεὺς* fecit *L*, *ζεὺς P* | fort *εἰ δὲ ταῦτα* 355 *νομίζῃ L*, *νομίζει* mut. in *νομίζῃ P* | *Ζεὺς*] *τοι* F. Gu. Schmidt 356 *εὐρείας σᾶς* (malim *τᾶς*) *φάρυγγος, Κύκλωψ* Kirchhoff (*ὦ* iam delevit Hartung), fort. *εὐρείας φάρυγος, ὦ Κύκλωψ* (deleto *ὦ* in v. 369), cfr. 410, 592 358 sq. *ὀπτὰ κρέ'* J. Krause | *ἀνθρακίας ἀποχναύειν LP* | *ἀνθρακιᾶς ἄπο θερμὰ* | *χναύειν βρύκειν,* | *κρεοκοπεῖν μέλη ξένων* Hermann 359 *βρύκειν* Casaubonus, *βρύχειν LP* | *κρεοκοπεῖν*] L. Dindorf, *κρεωκοπεῖν LP* 360 *κλινομένῳ*] Reiske, *καινόμενα LP* 361 *προσδίδου LP*, *προδίδου l* 362 *γέμιζε*] scripsi, *κόμιζε LP* 363 *ἅδε*] Dindorf, *ἥδε LP* 365 fort. *ἀποβώμιον* | *ἔχει*] *ἀνέχει* L. Spengel 369 sqq. *νηλής, ὦ τλᾶμον, ὅστις* *δόμων* | *ἐφεστίους ἱκτῆρας ἐκθύεις ξένους* | *ἑφθά τε δαινύμενος μυσαροῖσί τ' ὀδοῦσιν* | *κόπτων βρύκων* | *θέρμ' ἀπ' ἀνθράκων κρέα* Kirchhoff (*μυσαροῖσιν ὀδοῦσιν κόπτεις βρύκεις* M. Haupt) 370 *δωμάτων τ' P* | *ξενικοὺς*] *ξένους* olim Bothe 371 *ἐκθύεις* Hermann, *ἐκθύῃ* Wilamowitz 372 post 373 collocat Hermann | *κόπτων*] fort. *χναύων* | *βρύκων*] Casaubonus, *βρύχων LP* 373 *ἑφθά τε καὶ P* | *μυσαροῖσιν L*, sed *σιν* in ras. scr. *l* | *ὀδοῦσιν LP* 374 *ἀνθρώπων* delevit Hermann. Post 374 iterandi videntur v. 360—367 ita ut *κλινόμενος* scribatur (360—362 iterat M. Haupt, 363—367 iterat Kirchhoff lacuna = 360—362 post 374 significata)